δαιμονίη, τριτάτῳ δὲ κατέφθιτο μηνὶ δυσαίων
οὐλομένη ψυχῆς δύσφρονι τηκεδόνι.
τοῦτο δ' ἐπ' ἀμφοτέροισι πολύκλαυτον φιλότητος
ἕστηκεν λείῃ μνῆμα παρὰ τριόδῳ.

## VI

αἵδ' ὁμόνοι δύο γρῆες ὁμήλικες ἦμεν Ἀναξώ
καὶ Κλεινώ, δίδυμοι παῖδες Ἐπικράτεος,
Κλεινὼ μὲν Χαρίτων ἱερή, Δήμητρι δ' Ἀναξώ
ἐν ζωῇ πρὸ πόλεως· ἐννέα δ' ἠελίων
ὀγδωκονταέτεις ἐπελείπομεν ἐς τόδ' ἱκέσθαι
τῆς μοίρης. ἐτέων δ' οὐ φθόνος ἔσθ' ὁσίη.
καὶ πόσιας καὶ τέκνα φιλήσαμεν· αἱ δὲ παλαιαί
πρῶθ' ἡμεῖς Ἀίδην πρηὺν †ἀνιάμεθα†.

## VII

χαῖρέ μοι, ἁβρὲ κύπασσι, τὸν Ὀμφάλη ἥ ποτε Λυδή
λυσαμένη φιλότητ' ἦλθεν ἐς Ἡρακλέους.
ὄλβιος ἦσθα, κύπασσι, καὶ ὡς τότε καὶ πάλιν ὡς νῦν
χρύσεον Ἀρτέμιδος τοῦτ' ἐπέβης μέλαθρον.

## VIII

τὰν ἥβαν ἐς ἄεθλα πάλας ἤσκησε κραταιᾶς
ἅδε Ποσειδῶνος καὶ Διὸς ἁ γενεά·